αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας
4 καὶ τοὺς ἐγγαστριμύθους. [4]καὶ παραδώσω Αἴγυπτον εἰς χεῖρας ἀν-
θρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐ-
5 τῶν· τάδε λέγει κύριος σαβαωθ. [5]καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ
6 τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται· [6]καὶ
ἐκλείψουσιν οἱ ποταμοὶ καὶ αἱ διώρυγες τοῦ ποταμοῦ, καὶ ξηραν-
θήσεται πᾶσα συναγωγὴ ὕδατος καὶ ἐν παντὶ ἕλει καλάμου καὶ
7 παπύρου· [7]καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ καὶ
πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον.
8 [8]καὶ στενάξουσιν οἱ ἁλεεῖς, καὶ στενάξουσιν πάντες οἱ βάλλοντες
ἄγκιστρον εἰς τὸν ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας καὶ οἱ ἀμ-
9 φιβολεῖς πενθήσουσιν. [9]καὶ αἰσχύνη λήμψεται τοὺς ἐργαζομένους
10 τὸ λίνον τὸ σχιστὸν καὶ τοὺς ἐργαζομένους τὴν βύσσον, [10]καὶ
ἔσονται οἱ διαζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ τὸν ζῦθον
11 ποιοῦντες λυπηθήσονται καὶ τὰς ψυχὰς πονέσουσιν. [11]καὶ μωροὶ
ἔσονται οἱ ἄρχοντες Τάνεως· οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως,
ἡ βουλὴ αὐτῶν μωρανθήσεται. πῶς ἐρεῖτε τῷ βασιλεῖ Υἱοὶ συνετῶν
12 ἡμεῖς, υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς; [12]ποῦ εἰσιν νῦν οἱ σοφοί
σου; καὶ ἀναγγειλάτωσάν σοι καὶ εἰπάτωσαν τί βεβούλευται κύριος
13 σαβαωθ ἐπ᾽ Αἴγυπτον. [13]ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ὑψώ-
θησαν οἱ ἄρχοντες Μέμφεως, καὶ πλανήσουσιν Αἴγυπτον κατὰ
14 φυλάς. [14]κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐ-
πλάνησαν Αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ
15 μεθύων καὶ ὁ ἐμῶν ἅμα. [15]καὶ οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον,
ὃ ποιήσει κεφαλὴν καὶ οὐράν, ἀρχὴν καὶ τέλος.
16 [16]Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες ἐν φόβῳ
καὶ ἐν τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς κυρίου σαβαωθ, ἣν αὐτὸς
17 ἐπιβαλεῖ αὐτοῖς. [17]καὶ ἔσται ἡ χώρα τῶν Ιουδαίων τοῖς Αἰγυπτίοις
εἰς φόβητρον· πᾶς, ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται
18 διὰ τὴν βουλήν, ἣν βεβούλευται κύριος ἐπ᾽ αὐτήν. — [18]τῇ ἡμέρᾳ
ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ

3 εγγαστριμ. (cf. 8 19)] + και τους γνωστας SA || 6 διωρυγες] χ pro γ B: item in 27 12 33 21, cf. Thack. § 10, 19 || 7 παν 2⁰ > B*† || 8 αλεεις B* S*AQ*†] αλιεις rel.: cf. Thack. § 6, 22 | αγκιστρον] -ρα B || 10 διαζομενοι compl.] διαλογιζομ. AQ†, εργαζομ. BS*LC* (quid S^c scripserit, non liquet) | τον ζυθ./ποιουντες] tr. B*LC* || 11 η βουλη] pr. και S^c†: ex *L* και εσται η β. αυτων μωρα pro η β. αυτων μωρανθησεται praebente || 14 επλανησαν] -σεν S*L*^p*C*^p | αιγυπτον] pr. την *C*† || 15 αρχην] pr. και B† || 16 δε > Q*LC* || 17 φοβηθρον B† | αυτην αυτοις] tr. S* | βουλην] + κυριου σαβαωθ A (in *O*, ni fallor, sub ※; Q hunc asteriscum non ante uerba κυρ. σαβ. in Q deficientia tradidit, sed ante uerbum σαβαωθ sequens margini codicis Q adscriptum, cf. inf.) | κυριος] + σαβαωθ *LC*Q^mg(cf. sup.); *C* tr. κυριος σαβαωθ ante βεβουλευται | αυτην ult.] αυτους S*Q† || 18 init.] pr. εν S† | αιγυπτω] pr. γη *C* (in *O* sub ※)